### Ἀδέσποτον.

Ησίοδος μούσας ὑπεδέξατο· τῷ δ' ἄρ' ἑκάστη
Ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

### Ἄδηλον.

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων,
Πύῤῥην ἐξαπίνης εἶδον ἐπερχομένην.
Βίβλον δὲ ῥίψας ἐπὶ γῆν χερὶ, τοῦτ' ἐβόησα,
Ἔργα τί μοι παρέχεις ὦ γέρον ἡσίοδε;

### Ἄδηλον εἰς νόννον.

Νόννος ἐγώ, πανὸς μὲν ἐμὴ πόλις· ἐν φαρίῃ δέ
Ἔγχεϊ φοινήεντι γονὰς ἤμησα γιγάντων.

### ΛΕΩΝΙΔΟΥ.

Ην ὁπότε γραμμαῖσιν ἐμὴν φρένα μοῦνον ἔτερπον,
Οὐδ' ὄναρ εὐγλωμέταις γνώριμος ἰταλίδαις·
Ἀλλὰ τανῦν πάντεσσιν ἐράσμιος. ὀψὲ γὰρ ἔγνων
Ὁππόσον οὐρανίην καλλιόπη προφέρει.

---

## ΕΙΣ ΠΟΙΜΕΝΑΣ, κεφ. ξη.

### ΓΛΑΥΚΟΥ.

a Νύμφαι, πευθομένῳ φράσατ' ἀτρεκὲς, εἰ παροδεύων
Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους;
b Ναὶ ναὶ Πὰν συρικτὰ, καὶ εἰς αἴγειρον ἐκείναν
Σοί τι κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν.

Πάν.